eul_wid: gcm-ab

*Φιλέταιρος ὁ κωμικός* · Philetaerus the Comic Poet

# Fragments on Health and Pleasure

*Ἀποσπάσματα περὶ Ὑγιείας καὶ Ἡδονῆς*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ἐνέσεισε μεστὴν ἴσον ἴσῳ μετανιπτρίδα μεγάλην ἐπειπὼν τῆς Ὑγιείας

book 1.2 τοὔνομα.

book 1.1 Κἂν δῇ, τροχάζω

book 1.2 στάδια

book 1.3 πλείω

book 1.4 Σωτάδου, τὸν

book 1.5 Ταυρέαν δὲ τοῖς πόνοις ὑπερβαλῶ, τὸν Κτησίαν δὲ τῷ φαγεῖν ὑπερδραμῶ.

book 1 Πηλεύς; ὁ Πηλεὺς δ’ ἐστὶν ὄνομα κεραμέως, ξηροῦ λυχνοποιοῦ, Κανθάρου, πενιχροῦ πάνυ, ἀλλ’ οὐ τυράννου νὴ Δία.

book 1.1 Ὡς

book 1.2 τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ’ ἔχει. οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι

book 1.3 πανταχοῦ, ἀλλ’ οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

book 1.1 Οὐχὶ Κερκώπη μὲν ἤδη γέγον’ ἔτη

book 1.2 τρισχίλια, ἡ δὲ Διοπείθους ἀειδὴς Τέλεσις ἕτερα μυρία; Θεολύτην δ’ οὐδ’ οἶδεν οὐδείς, ὅτε τὸ πρῶτον ἐγένετο. οὐχὶ Λαῒς μὲν

book 1.3 τελευτῶς’ ἀπέθανεν βινουμένη,[ln_5]Ἰσθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε καὶ Φίλα; Κοσσύφας δὲ καὶ Γαλήνας καὶ Κορώνας οὐ λέγω· περὶ δὲ Ναΐδος

book 1.4 σιωπῶ· γομφίους γὰρ οὐκ ἔχει.

book 2.1 Παῦσαι γέρων ὢν

book 2.2 τοὺς

book 2.3 τρόπους. οὐκ οἶσθ’ ὅτι ἥδιστόν ἐστιν ἀποθανεῖν βινοῦνθ’ ἅμα, ὥσπερ λέγουσιν ἀποθανεῖν

book 2.4 Φορμίσιον; τί δεῖ γὰρ ὄντα θνητόν, ἱκετεύω, ποιεῖν,[ln_5]πλὴν ἡδέως ζῆν τὸν βίον καθ’ ἡμέραν, ἐὰν ἔχῃ τις ὁπόθεν. ἀλλὰ δεῖ σκοπεῖν

book 2.5 τοῦτ’ αὐτό, τἀνθρώπει’ ὁρῶντα

book 2.6 πράγματα, εἰς αὔριον δὲ μηδὲ φροντίζειν ὅ τι ἔσται· περίεργόν ἐστιν ἀποκεῖσθαι πάνυ[ln_10]ἕωλον ἔνδον ἀργύριον.

book 3.1 Οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι

book 3.2 πανταχοῦ, ἀλλ’ οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

book 1.1 Καὶ χειροβαρὲς

book 1.2 σαρκὸς ὑείας θετταλότμητον κρέας.

book 1 Οὐ πρὸς γυναικὸς ὁ χορός. οἴκαδ’ ὦ κόρη ἄπιθ’ ἀμπαλίνορος.

book 1 [spk_β]Τίς ἐστι Μαιμακτηριών; Β. μὴν δικάσιμος.

book 1 Θνητῶν δ’ ὅσοι ζῶσιν κακῶς ἔχοντες ἄφθονον βίον, ἐγὼ μὲν αὐτοὺς ἀθλίους εἶναι λέγω· οὐ γὰρ θανὼν δήπουθ’ ἂν ἔγχελυν φάγοις,[ln_5]οὐδ’ ἐν νεκροῖσι πέττεται γαμήλιος.

book 2-3.1 Ὁ μάγειρος οὗτος

book 2-3.2 Πατανίων

book 2-3.3 προσελθέτω. Πλείους

book 2-3.4 Στρατονίκου

book 2-3.5 τοὺς μαθητάς μοι δοκεῖ ἕξειν

book 2-3.6 Πατανίων.

book 1 Πεπωκέναι δοκεῖ τὸν κατὰ δύο καὶ τρεῖς ἀκράτου.

book 1.1 Ὦ Ζεῦ, καλόν γ’ ἔστ’ ἀποθανεῖν αὐλούμενον· τούτοις ἐν ᾅδου γὰρ μόνοις ἐξουσία ἀφροδισιάζειν ἐστίν, οἱ δὲ τοὺς

book 1.2 τρόπους ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ,[ln_5]εἰς τὸν πίθον φέρουσι τὸν

book 1.3 τετρημένον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org